265

πρὸ η΄ καλανδῶν τοῦ ἑπομένου μηνός· εἰ δὲ πεμπταῖ-
αι μὲν αἱ νόνναι, καὶ ὁ μὴν ἡμερῶν λα΄, πρὸ ιθ΄ καλαν-
δῶν ὁμοίως· εἰ δὲ αἱ νόνναι μετὰ ἑβδομαίαι, καὶ ὁ μὴν λα΄ ἡ-
μερῶν· τὴν ιε΄. πρὸ δὲ καὶ ἑπτὰ καλανδῶν ὁμοίως.
Ἐπὶ δὲ τοῦ φευρουαρίου μόνου. τὴν ιγ΄. πρὸ ις΄ καλαν-
δῶν Μαρτίου· καὶ καθεξῆς καθ' ὑπόβασιν τοῦ ἀριθμοῦ
τῶν καλανδῶν· ἡνίκα δ' αὖ βίσεξτον ἦ, τὴν κε΄· καὶ
τὴν κς΄. τὴν πρὸ ς΄ καλανδῶν Μαρτίου ἔλαβεν. ὁ καὶ
εἴρηται· ἄγουσι δὲ ἑβδομαίας μετὰ τὰς νόννας, Μάρ-
τιος, Μάϊος, Ἰούλιος, Ὀκτώβριος· πεμπταίας δ' οἱ λοιποί:

## Περὶ τῶν ιβ΄ μηνῶν:

Ἰανουάριος εἴρηται, ἀπὸ τοῦ Ἰανοῦ παρ' αὐτοῖς θεοῦ τιμωμένου· Μάρ-
τιος ἀπὸ τοῦ Ἄρεος· Μάρτην γὰρ φασὶ τὸν Ἄρην. ἀνάκειται οὖν τῷ
Ἄρει· Ἀπρίλιος δέ, οἱονεὶ ἀπερίλλιος· ἀπερίρε γὰρ τὸ
ἀνοῖξαι, ὁ ἀνοικτὸς τοῦ ἔαρος, ἀνάκειται δὲ τῇ Ἀφρο-
δίτῃ. Μάϊος, ἀπὸ τοῦ Μαίας Ἑρμοῦ· ᾧ καὶ ἀνάκειται. ὡς εἰς
τιμὴν τῆς γερουσίας τεθέντος. Ἰούνιος δέ, εἰκότως ὀ-
νομασθεὶς εἰς τιμὴν τῆς γερουσίας. ὑπὲρ τῆς τιμῆς τῶν
νέων τεθείς· ἰουνιώρας γὰρ τοὺς νεωτέρους φασί·
Ἰούλιος δέ, ἀπὸ τοῦ Ἰουλίου Καίσαρος· ὡς κατ' αὐτὸν τεθείς·
πρότερον δέ, Κυντίλιος ὀνομαζόμενος· τουτέστι ε΄
ἀπὸ τῆς πομπτικῆς τοῦ ἔτους ἀρχῆς· ἀπὸ γὰρ τῆς
ἱερατικῆς ἀρχῆς, ἤτοι τῶν αὐξηφώτων, ἑβδομαῖος·
Αὔγουστος ὁμοίως ἀπὸ τοῦ Αὐγούστου Καίσαρος· πρότερον δέ,
Σέξτιλις ὀνομαζόμενος· ὡς ς΄ ἀπὸ Μαρτίου· μετωνομάσθη δὲ
εἰς τιμὴν Αὐγούστου ὡς καταπαύσαντος τοὺς ἐμφυλίους
πολέμους. καὶ ὁμόνοιαν κατὰ πάντας ποιήσαντος.
Σεπτέμβριος ἐπεὶ ἡ ἑπτὰ ἀπὸ Ἰανουαρίου, τοῦ Ματ... ἦν, τὸ ὄνομα
τῆς ὁμοιότητος αὐτοῖς αἴτιον ἀπέθεντο· καὶ τὰ δ'

UNIVERSITÄTS-BIBLIOTHEK HEIDELBERG
BIBLIOTECA APOSTOLICA VATICANA
The Polonsky Foundation
© Biblioteca Apostolica Vaticana
https://digi.ub.uni-heidelberg.de/diglit/bav_pal_gr_209/0531